UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Hermogeni & Lampetio Episcopis. 367.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

μοι ἐκ τούτου. εἰς γὰρ τὸν τοῦ μισθοῦ λόγον οὐδὲν παραβλαβήσομαι. ἀλλ᾽ ἐπειδὴ ποθεινοτέρα μοι ὑμῶν ἡ σωτηρία, τῆς τῶν μισθῶν ἀπολαύσεως. εἰ δέ τις ἀπιστεῖ, πόρρω μὲν τυγχάνων φιλικῆς ἕξεως ἁλώσεται, εἰ δὲ ἐλεγχόμενος εἰς ἀναισχυντίαν τραπείη, καὶ μηδένα ἀνθρώπων τοῦτο κατωρθωκέναι φαίη, ἐλεγχθήσεται καὶ παρὰ τοῦ θεοφιλοῦς Μωσέως, καὶ παρὰ τοῦ σοφωτάτου Παύλου. ὧν ὁ μὲν ἐξαλειφθῆναι τῆς θείας βίβλου ηὔξατο, εἰ μὴ συγγνωσθεῖεν Ἰουδαῖοι πάντες πιστεύσωσιν. εἰ δὲ πάλιν φαίη. ἐκείνοις οὖν τοῖς ἀνδράσι παραβάλλεις σαυτόν; εἴποιμ᾽ ἂν ὅτι ἐν τοῖς ἄλλοις πλεονεκτήμασιν ἁπάντων σχεδὸν ἀνθρώπων ἐλαττούμενος. οὔ φημι τούτοιν μόνοιν τοῖν δυοῖν, τοῦτο μόνον ἐνθύμως περιέχομαι, τὸ βούλεσθαι πάντας τό γε ἡμέτερον μέρος σωθῆναι.

quod ad præmij rationem attinet, nihil damni faciam.) verùm quòd maiore salutis vestræ, quàm præmij consequendi cupiditate tenear. Quòd si quis mihi diffidit, is longè ab amicitiæ habitu remotus esse deprehenditur. Quòd si, cùm coarguitur, ad impudentiam se cõuertat, ac nemine mortaliũ hoc vnquam prẽstitisse cõtendat, à viro Deo charo Mose, atque à sapientissimo Paulo refelletur. Ex quibus alter de diuino libro expungi optabat, nisi Iudæis ignosceretur: alter hac conditione anathema esse cupiebat, vt Iudęi omnes ad vitam accederent. Quòd si rursum dicat, Quid igitur? virisne illis te comparas? illud respondere͂, quòd cùm in aliis omnibus virtutum prærogatiuis cunctis ferè hominibus, nedum his duobus inferior sim, at vnum tamẽ hoc arctè atque ardenti animo teneo, quòd, quantùm in me situm est, omnes salutem consequi cupiam.

Ἑρμογένει καὶ Λαμπετίῳ ἐπισκόπ. τξζ.

*Hermogeni & Lampetio Episcopis.* 367.

Ἐπειδή, ὡς γεγράφατε, δεινότατος ὢν Εὐσέβιος ἐπιτιμῆσαι ἑτέροις, καὶ αἰτιάσασθαι τὰ ψευδῆ, καὶ μέμψεις ἀτόπους συμπλάσαι, αὐτὸς μὲν παντὸς μᾶλλον ἔνοχός ἐστιν οἷς αἰτιᾶται, διὰ δὲ τῆς μηχανῆς ταύτης λήσειν οἴεται, μανθανέτω, ὅτι τὸ σοφὸν αὐτῷ, ἠλίθιον ἔσται. καὶ τοῦτ᾽ αὐτὸ μάλιστα οὐ λανθάνει, ὅτι μαθεῖν μηχανώμενος, μᾶλλον ἁλίσκεται.

Quandoquidem, vt à vobis scriptũ est, Eusebius, qui ad alios obiurgandos, & ad falsa crimina obiicienda, & confingendas absurdas reprehensiones calidissimus ac vehementissimus est, ipse quidem magis quàm quiuis alius iis obnoxius est, quę insectatur, verùm per hoc artificium id se assecuturũ putat, vt vitia sua obscura sint: id velim discat, solertiam suam stultitiam ipsi fore. Atque hoc ipsum maximè nos haudquaquam fugit, quòd dum id agit ac molitur, vt flagitia sua nos fugiant, magis deprehenditur atque irretitur.

Ζωσίμῳ πρεσβυτέρῳ. τξη.

*Zosimo Presbytero.* 368.

Τὰ μεμηνότα καὶ λυττῶντα τῆς σαρκὸς πάθη τιθασσεύειν καὶ ἐξημεροῦν καὶ πραΰνειν χρή. εἰ δὲ μὴ πείθοιντο, καὶ κολάζειν, ὡς δέχεται. σὺ δέ, ὥς φασι, τὰς ἡνίας αὐτοῖς ἐνδούς, ἄγῃ, ὅποι δ᾽ ἂν ἐκεῖνα βούλοιντο. βούλονται δὲ εἰς ὄλεθρον καὶ ἀπώλειαν τελευτᾶν. ἵν᾽ οὖν μὴ εἰς τὸν πυθμένα τῶν κακῶν ἐξακοντισθῇς, φρόντισον αὐτὰ ἀναστεῖλαι.

Furibundas & rabidas carnis affectiones cicurare ac mitigare & lenire oportet, quòd si nõ obtemperent, etiam, quoad eius fieri potest coërcere. At tu, quemadmodũ fama fert, habenas ipsi remittens, quò illæ volunt duceris. volunt autẽ in perniciem & exitiũ desinere. Quamobrẽ ne in profundũ malorũ præceps feraris, da operam vt eas tanquam iniecto fræno reprimas.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN